Matricola o motto:

**Letteratura greca (i+p) – a.a. 2010-2011** **prof. G. Avezzù**
Esercizi/4 29.X.2010

*Tradurre:*

Δημοτικώτατοϲ δ’ εἶναι δοκῶν ὁ Πειϲίϲτρατοϲ καὶ ϲφόδρ’ εὐδοκιμηκὼϲ ἐν τῷ πρὸϲ Μεγαρέαϲ πολέμῳ, κατατραυματίϲαϲ ἑαυτὸν ϲυνέπειϲε τὸν δῆμον, ὡϲ ὑπὸ τῶν ἀντιϲταϲιωτῶν ταῦτα πεπονθώϲ, φυλακὴν ἑαυτῷ δοῦναι τοῦ ϲώματοϲ, Ἀριϲτίωνοϲ γράψαντοϲ τὴν γνώμην. λαβὼν δὲ τοὺϲ κορυνηφόρουϲ καλουμένουϲ, ἐπαναϲτὰϲ μετὰ τούτων τῷ δήμῳ, κατέϲχε τὴν ἀκρόπολιν ἔτει δευτέρῳ καὶ τριακοϲτῷ μετὰ τὴν τῶν νόμων θέϲιν, ἐπὶ Κωμέου ἄρχοντοϲ.

Λέγεται δὲ Ϲόλωνα Πειϲιϲτράτου τὴν φυλακὴν αἰτοῦντοϲ ἀντιλέξαι καὶ εἰπεῖν ὅτι τῶν μὲν εἴη ϲοφώτεροϲ, τῶν δ’ ἀνδρειότεροϲ· ὅϲοι μὲν γὰρ ἀγνοοῦϲι Πειϲίϲτρατον ἐπιτιθέμενον τυραννίδι, ϲοφώτεροϲ εἶναι τούτων, ὅϲοι δ’ εἰδότεϲ καταϲιωπῶϲιν, ἀνδρειότεροϲ. ἐπεὶ δὲ λέγων οὐκ ἔπειθεν, ἐξαράμενοϲ τὰ ὅπλα πρὸ τῶν θυρῶν, αὐτὸϲ μὲν ἔφη βεβοηθηκέναι τῇ πατρίδι, καθ’ ὅϲον ἦν δυνατόϲ (ἤδη γὰρ ϲφόδρα πρεϲβύτηϲ ἦν), ἀξιοῦν δὲ καὶ τοὺϲ ἄλλουϲ ταὐτὸ τοῦτο ποιεῖν. Ϲόλων μὲν οὖν οὐδὲν ἤνυϲεν τότε παρακαλῶν. Πειϲίϲτρατοϲ δὲ λαβὼν τὴν ἀρχὴν διῴκει τὰ κοινά, πολιτικῶϲ μᾶλλον ἢ τυραννικῶϲ. οὔπω δὲ τῆϲ ἀρχῆϲ ἐρριζωμένηϲ, ὁμοφρονήϲαντεϲ οἱ περὶ τὸν Μεγακλέα καὶ τὸν Λυκοῦργον, ἐξέβαλον αὐτὸν ἕκτῳ ἔτει μετὰ τὴν πρώτην κατάϲταϲιν, ἐφ’ Ἡγηϲίου ἄρχοντοϲ. ἔτει δὲ δωδεκάτῳ μετὰ ταῦτα περιελαυνόμενοϲ ὁ Μεγακλῆϲ τῇ ϲτάϲει, πάλιν ἐπικηρυκευϲάμενοϲ πρὸϲ τὸν Πειϲίϲτρατον, ἐφ’ ᾧ τε τὴν θυγατέρα αὐτοῦ λήψεται, κατήγαγεν αὐτὸν ἀρχαίωϲ καὶ λίαν ἁπλῶϲ. προδιαϲπείραϲ γὰρ λόγον, ὡϲ τῆϲ Ἀθηνᾶϲ καταγούϲηϲ Πειϲίϲτρατον, καὶ γυναῖκα μεγάλην καὶ καλὴν ἐξευρών, ὡϲ μὲν Ἡρόδοτόϲ φηϲιν ἐκ τοῦ δήμου τῶν Παιανιέων, ὡϲ δ’ ἔνιοι λέγουϲιν ἐκ τοῦ Κολλυτοῦ ϲτεφανόπωλιν Θρᾶτταν, ᾗ ὄνομα Φύη, τὴν θεὸν ἀπομιμηϲάμενοϲ τῷ κόϲμῳ, ϲυνειϲήγαγεν μετ’ αὐτοῦ· καὶ ὁ μὲν Πειϲίϲτρατοϲ ἐφ’ ἅρματοϲ εἰϲήλαυνε, παραιβατούϲηϲ τῆϲ γυναικόϲ, οἱ δ’ ἐν τῷ ἄϲτει προϲκυνοῦντεϲ ἐδέχοντο θαυμάζοντεϲ.